δρόνικον καὶ Ἰουνίαν τοὺς συγγενεῖς μου, καὶ συναιχμαλώτους μου· οἵτινές
εἰσιν ἐπίσημοι ἐν τοῖς ἀποστόλοις, οἳ καὶ πρὸ ἐμοῦ γεγόνασιν ἐν Χρι-
στῷ. 8 Ἀσπάσασθε Ἀμπλίαν τὸν ἀγαπητόν μου ἐν Κυρίῳ. 9 Ἀσπάσασθε
Οὐρβανὸν τὸν συνεργὸν ἡμῶν ἐν Χριστῷ, καὶ Στάχυν τὸν ἀγαπητόν μου.
10 Ἀσπάσασθε Ἀπελλῆν τὸν δόκιμον ἐν Χριστῷ. Ἀσπάσασθε τοὺς ἐκ τῶν
Ἀριστοβούλου. 11 Ἀσπάσασθε Ἡρωδίωνα τὸν συγγενῆ μου. Ἀσπάσασθε
τοὺς ἐκ τῶν Ναρκίσσου, τοὺς ὄντας ἐν Κυρίῳ. 12 Ἀσπάσασθε Τρύφαιναν
καὶ Τρυφῶσαν τὰς κοπιώσας ἐν Κυρίῳ. Ἀσπάσασθε Περσίδα τὴν ἀγα-
πητήν, ἥτις πολλὰ ἐκοπίασεν ἐν Κυρίῳ. 13 Ἀσπάσασθε Ῥοῦφον τὸν
ἐκλεκτὸν ἐν Κυρίῳ, καὶ τὴν μητέρα αὐτοῦ καὶ ἐμοῦ. 14 Ἀσπάσασθε Ἀσύγ-
κριτον, Φλέγοντα, Ἑρμᾶν, Πατρόβαν, Ἑρμῆν, καὶ τοὺς σὺν αὐτοῖς ἀ-
δελφούς. 15 Ἀσπάσασθε Φιλόλογον καὶ Ἰουλίαν, Νηρέα καὶ τὴν ἀδελ-
φὴν αὐτοῦ, καὶ Ὀλυμπᾶν, καὶ τοὺς σὺν αὐτοῖς πάντας ἁγίους. 16 Ἀσπάσα-
σθε ἀλλήλους ἐν φιλήματι ἁγίῳ. Ἀσπάζονται ὑμᾶς αἱ ἐκκλησίαι τοῦ
Χριστοῦ. 17 Παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοί, σκοπεῖν τοὺς τὰς διχοστασίας
καὶ τὰ σκάνδαλα παρὰ τὴν διδαχὴν ἣν ὑμεῖς ἐμάθετε, ποιοῦντας· καὶ
ἐκκλίνατε ἀπ᾽ αὐτῶν. 18 Οἱ γὰρ τοιοῦτοι τῷ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ
οὐ δουλεύουσιν, ἀλλὰ τῇ ἑαυτῶν κοιλίᾳ· καὶ διὰ τῆς χρηστολογίας καὶ εὐλογίας
ἐξαπατῶσι τὰς καρδίας τῶν ἀκάκων. 19 Ἡ γὰρ ὑμῶν ὑπακοὴ εἰς πάντας
ἀφίκετο. Χαίρω οὖν τὸ ἐφ᾽ ὑμῖν· θέλω δὲ ὑμᾶς σοφοὺς μὲν εἶναι εἰς τὸ
ἀγαθόν, ἀκεραίους δὲ εἰς τὸ κακόν. 20 Ὁ δὲ Θεὸς τῆς εἰρήνης συντρίψει τὸν
σατανᾶν ὑπὸ τοὺς πόδας ὑμῶν ἐν τάχει. Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰη-
σοῦ Χριστοῦ μεθ᾽ ὑμῶν. ἀμήν. 21 Ἀσπάζονται ὑμᾶς Τιμόθεος ὁ συνεργός
μου, καὶ Λούκιος καὶ Ἰάσων καὶ Σωσίπατρος, οἱ συγγενεῖς μου. 22 Ἀσπάζο-
μαι ὑμᾶς ἐγὼ Τέρτιος ὁ γράψας τὴν ἐπιστολὴν ἐν Κυρίῳ. 23 Ἀσπάζεται
ὑμᾶς Γάϊος ὁ ξένος μου καὶ τῆς ἐκκλησίας ὅλης. Ἀσπάζεται ὑμᾶς Ἔραστος
ὁ οἰκονόμος τῆς πόλεως, καὶ Κούαρτος ὁ ἀδελφός. 24 Ἡ χάρις τοῦ Κυρίου
ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων ὑμῶν. ἀμήν. 25 Τῷ δὲ δυναμένῳ ὑμᾶς
στηρίξαι κατὰ τὸ εὐαγγέλιόν μου καὶ τὸ κήρυγμα Ἰησοῦ Χριστοῦ, κατὰ ἀπο-
κάλυψιν μυστηρίου χρόνοις αἰωνίοις σεσιγημένου· 26 φανερωθέντος
δὲ νῦν διά τε γραφῶν προφητικῶν, κατ᾽ ἐπιταγὴν τοῦ αἰωνίου Θεοῦ,
εἰς ὑπακοὴν πίστεως, εἰς πάντα τὰ ἔθνη γνωρισθέντος· 27 μόνῳ σοφῷ
Θεῷ, διὰ Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Πρὸς Ῥωμαίους ἐγράφη ἀπὸ Κορίνθου διὰ Φοίβης τῆς διακόνου
τῆς ἐν Κεγχρεαῖς ἐκκλησίας.

ΠΑΥΛΟΥ



# ΠΑΥΛΟΥ
## ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ
## Η ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ ΕΠΙΣΤΟΛΗ ΠΡΩΤΗ.

### ΚΕΦΑΛΑΙΟΝ Α΄.

ΠΑΥΛΟΣ κλητὸς ἀπόστολος Ἰησοῦ Χρι-
στοῦ, διὰ θελήματος Θεοῦ, καὶ Σωσθένης ὁ ἀ-
δελφός, 2 τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ τῇ οὔσῃ ἐν
Κορίνθῳ, ἡγιασμένοις ἐν Χριστῷ Ἰησοῦ,
κλητοῖς ἁγίοις, σὺν πᾶσι τοῖς ἐπικαλουμέ-
νοις τὸ ὄνομα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χρι-
στοῦ, ἐν παντὶ τόπῳ, αὐτῶν τε καὶ ἡμῶν· 3 χάρις
ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.
4 Εὐχαριστῶ τῷ Θεῷ μου πάντοτε περὶ ὑμῶν, ἐπὶ τῇ χάριτι τοῦ Θεοῦ
τῇ δοθείσῃ ὑμῖν ἐν Χριστῷ Ἰησοῦ· 5 ὅτι ἐν παντὶ ἐπλουτίσθητε ἐν αὐτῷ,
ἐν παντὶ λόγῳ καὶ πάσῃ γνώσει· 6 καθὼς τὸ μαρτύριον τοῦ Χριστοῦ
ἐβεβαιώθη ἐν ὑμῖν· 7 ὥστε ὑμᾶς μὴ ὑστερεῖσθαι ἐν μηδενὶ χαρίσματι,
ἀπεκδεχομένους τὴν ἀποκάλυψιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.
8 Ὃς καὶ βεβαιώσει ὑμᾶς ἕως τέλους ἀνεγκλήτους, ἐν τῇ ἡμέρᾳ τοῦ
Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. 9 Πιστὸς ὁ Θεός, δι᾽ οὗ ἐκλήθητε εἰς κοι-
νωνίαν τοῦ υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. 10 Παρακαλῶ
δὲ ὑμᾶς, ἀδελφοί, διὰ τοῦ ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χρι-
στοῦ, ἵνα τὸ αὐτὸ λέγητε πάντες, καὶ μὴ ᾖ ἐν ὑμῖν σχίσματα, ἦτε δὲ
κατηρτισμένοι ἐν τῷ αὐτῷ νοΐ, καὶ ἐν τῇ αὐτῇ γνώμῃ. 11 Ἐδηλώθη γάρ
μοι περὶ ὑμῶν, ἀδελφοί μου, ὑπὸ τῶν Χλόης, ὅτι ἔριδες ἐν ὑμῖν

Κκ